www.tezaurliturgic.ro

# Ἀκολουθία Παρακλητικός κανών καί Οἶκοι Εἰκοσιτέσσαρες

## τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν

# Παύλου τοῦ Ἁπλοῦ

*Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει*
*ὑπό*
*Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου*
*Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας*

Μαρτίου ζ'.

**Μνήμη τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν**
**Παύλου τοῦ Ἁπλοῦ.**

**Ἐκδόσεις «ΟΡΘΟΔΟΞΟΣ ΚΥΨΕΛΗ»**
**ΕΡΜΟΥ 34 - Τηλ. 266.755**
**54624 ΘΕΣΣΑΛΟΝΙΚΗ**

www.tezaurliturgic.ro

# ΚΕΙΜΕΝΑ — ΠΗΓΑΙ
# περί τοῦ βίου τοῦ Ὁσίου Πατρός ἡμῶν
# ΠΑΥΛΟΥ τοῦ ΑΠΛΟΥ

α'. Διηγεῖτο δέ καί τοῦτο ὁ Κρόνιος καί ὁ ἅγιος Ἱέραξ καί πλείονες ἄλλοι περί ὧν μέλλω λέγειν, ὅτι Παῦλός τις ἄγροικος γεωργός, καθ' ὑπερβολήν ἄκακος καί ἁπλοῦς, ὡραιοτάτῃ ἐζεύχθη γυναικί κακοτρόπῳ τῇ γνώμῃ, ἥτις διελάνθανεν ἁμαρτάνουσα ἐπί μήκιστον χρόνον. Εἰσελθών οὖν ἐξ ἀγροῦ αἰφνίδιον ὁ Παῦλος εὗρεν αὐτούς αἰσχροπραγοῦντας, τῆς προνοίας εἰς τό συμφέρον ὁδηγούσης τόν Παῦλον. Καί γελάσας σεμνόν ἐπιφωνεῖ αὐτοῖς καί λέγει· «Καλῶς, καλῶς· ἀληθῶς οὐ μέλει μοι. Μά τόν Ἰησοῦν ἐγώ αὐτήν οὐκέτι αἴρω. Ὕπαγε, ἔχε αὐτήν καί τά παιδία αὐτῆς· ἐγώ γάρ ὑπάγω γίνομαι μοναχός». Καί μηδενί μηδέν εἰρηκώς ἀνατρέχει τάς ὀκτώ μονάς καί ἀπέρχεται πρός τόν μακάριον Ἀντώνιον καί κρούει τήν θύραν. Ἐξελθών οὖν ἐρωτᾷ αὐτόν· «Τί θέλεις;» λέγει αὐτῷ· «Μοναχός θέλω γενέσθαι». Ἀποκρίνεται ὁ Ἀντώνιος καί λέγει αὐτῷ· «Ἐτῶν ἑξήκοντα γέρων ἄνθρωπος ὧδε μοναχός οὐ δύνασαι γενέσθαι· ἀλλά μᾶλλον ἄπελθε εἰς κώμην καί ἐργάζου, καί ζῆθι ἐργατικόν βίον εὐχαριστῶν τῷ Θεῷ· ὑπομεῖναι γάρ τάς θλίψεις τῆς ἐρήμου οὐ δύνασαι». Ἀποκρίνεται ὁ γέρων πάλιν καί λέγει· «Εἴ τι ἄν με διδάξῃς ἐκεῖνο ποιῶ». Λέγει αὐτῷ ὁ Ἀντώνιος· «Εἴρηκά σοι ὅτι γέρων εἶ καί οὐ δύνασαι· ἄπελθε εἰ ἄρα θέλεις μοναχός γενέσθαι εἰς κοινόβιον πλειόνων ἀδελφῶν, οἵτινες δύνανταί σου τῆς ἀσθενείας ἀνέχεσθαι. Ἐγώ γάρ μόνος κάθημαι ὧδε διά πέντε ἐσθίων καί τοῦτο λιμῷ». Τούτοις καί τοῖς τοιούτοις ῥήμασιν ἀπεσόβει τόν Παῦλον· καί ὡς οὐκ ἠνείχετο αὐτοῦ κλείσας τήν θύραν ὁ Ἀντώνιος οὐκ ἐξῆλθεν ἐπί ἡμέρας τρεῖς δι' αὐτόν, οὐδέ πρός τήν χρείαν. Ὁ δέ οὐκ ἀνεχώρησε. Τῇ δέ τετάρτῃ ἡμέρᾳ χρείας αὐτόν

www.tezaurliturgic.ro



*ἀναγκαζούσης ἀνοίξας ἐξῆλθε καί πάλιν λέγει αὐτῷ· «Ἄπελθε ἐντεῦθεν, γέρον· τί με ὑποπιάζεις (= βασανίζεις); οὐ δύνασαι ὧδε μεῖναι». Λέγει αὐτῷ ὁ Παῦλος· «Ἀμήχανόν μοί ἐστιν ἀλλαχοῦ τελευτῆσαι ἀλλ' ἤ ὧδε». Περιβλεψάμενος οὖν ὁ Ἀντώνιος καί θεασάμενος ὅτι τά πρός τροφήν οὐ βαστάζει, οὐκ ἄρτον, οὐχ ὕδωρ, καί τετάρτην ἔχει καρτερήσας νῆστις, «Μήποτε καί ἀποθάνῃ, φησί, καί κηλιδώσῃ μου τήν ψυχήν», εἰσδέχεται αὐτόν. Καί τοιαύτην ἀνέλαβεν ὁ Ἀντώνιος ἐν ταῖς ἡμέραις ἐκείναις πολιτείαν οἵαν οὐδέποτε ἐν νεότητι. Καί βρέξας θαλούς λέγει αὐτῷ· «Δέξαι, πλέξον σειράν ὡς κἀγώ». Πλέκει ὁ γέρων ἕως ἐννάτης ὀργυίας δεκαπέντε μοχθήσας. Θεασάμενος οὖν ὁ Ἀντώνιος δυσηρεστήθη καί λέγει αὐτῷ· «Κακῶς ἔπλεξας· ἀπόπλεξον καί ἄνωθεν πλέξον»· νήστει αὐτῷ ὄντι καί ἡλικιώτῃ ταύτην ἐπαγαγών τήν σῆψιν (= δοκιμασίαν), ἵνα δυσφορήσας ὁ γέρων φύγῃ τόν Ἀντώνιον. Ὁ δέ καί ἀπέπλεξε καί πάλιν ἔπλεξε τούς αὐτούς θαλλούς, εἰ καί δυσχερέστερον διά τό ἐρρυτιδῶσθαι (= διότι εἶχαν ζαρώσει). Θεασάμενος δέ ὁ Ἀντώνιος ὅτι οὔτε ἐγόγγυσεν οὔτε ἐμικροψύχησεν οὔτε ἠγανάκτησε, κατενύγη. Καί δύναντος τοῦ ἡλίου λέγει αὐτῷ· «Θέλεις φάγωμεν ἄρτου κλάσμα;» λέγει αὐτῷ ὁ Παῦλος· «Ὡς δοκεῖ σοι, ἀββᾶ». Καί τοῦτο πάλιν ἔκαμψε τόν Ἀντώνιον, τό μή προσδραμεῖν προθύμως τῇ τῆς τρυφῆς ἀγγελίᾳ ἀλλ' αὐτῷ ἐπιρρῖψαι τήν ἐξουσίαν. Θείς οὖν τήν τράπεζαν φέρει ἄρτους. Καί θείς ὁ Ἀντώνιος τούς παξιμάδας ἔχοντας ἀνά ἕξ οὐγκιῶν, ἑαυτῷ μέν ἔβρεξεν ἕνα, ξηροί γάρ ἦσαν, ἐκείνῳ δέ τρεῖς. Καί βάλλει ψαλμόν ὁ Ἀντώνιος ὅν ᾔδει, καί δωδέκατον αὐτόν ψάλας δωδέκατον ηὔξατο, ἵνα δοκιμάσῃ τόν Παῦλον. Ὁ δέ πάλιν προθύμως συνηύχετο· ᾑρεῖτο γάρ ὡς οἶμαι σκορπίους ποιμᾶναι ἤ μοιχαλίδι γυναικί συζῆσαι. Μετά δέ τάς δώδεκα προσευχάς ἐκαθέσθησαν φαγεῖν ἑσπέρας βαθείας. Φαγών οὖν ὁ Ἀντώνιος τόν ἕνα παξαμᾶν ἄλλου οὐχ ἥψατο. Ὁ δέ γέρων σχολαιότερον ἔτι εἶχε τοῦ παξαμαδίου· ἐξεδέχετο ὁ Ἀντώνιος ἕως οὗ τελέσῃ καί λέγει αὐτῷ· «Φάγε, παπία, καί ἄλλον παξαμᾶν». Λέγει αὐτῷ ὁ Παῦλος· «Ἐάν σύ ἐσθίῃς κἀγώ· σοῦ δέ μή ἐσθίοντος οὐκ ἐσθίω». Λέγει αὐτῷ ὁ Ἀντώνιος· «Ἐμοί ἐπαρκεῖ· μοναχός γάρ εἰμι». Λέγει αὐτῷ ὁ Παῦλος· «Ἀρκεῖ κἀμοί· κἀγώ γάρ θέλω μοναχός γενέσθαι». Ἐγείρεται πάλιν καί ποιεῖ δεκαδύο εὐχάς καί δεκαδύο ψαλμούς ψάλλει. Καθεύδει μικρόν τοῦ πρωτοϋπνίου, καί πάλιν ἐγείρεται ψάλλειν μεσονυκτίῳ ἕως ἡμέρας. Ὡς οὖν εἶδε τόν γέροντα προθύμως ἐπακολουθήσαντα αὐτοῦ τῇ πολιτείᾳ λέγει αὐτῷ· «Ἐάν δύνασαι καθ' ἡμέραν οὕτως, μένε μετ' ἐμοῦ». Λέγει αὐτῷ ὁ Παῦλος· «Ἐάν μέν τι ποτε*

www.tezaurliturgic.ro



*πλέον, οὐκ οἶδα· ἐπεί ταῦτα ἅ εἶδον ποιῶ εὐχερῶς». Λέγει αὐτῷ ὁ Ἀντώνιος τῇ ἑξῆς· «Ἰδού γέγονας μοναχός».*

*Πληροφορηθείς οὖν ὁ Ἀντώνιος μετά μῆνας ῥητούς ὅτι τελείας ἐστί ψυχῆς, λίαν ὢν ἁπλοῦς, τῆς χάριτος αὐτῷ συνεργούσης, ποιεῖ αὐτῷ κέλλαν ὡς ἀπό σημείων (= χιλιομετρική ἀπόστασις) τριῶν ἤ τεσσάρων, καί λέγει αὐτῷ· «Ἰδού γέγονας μοναχός· μένε κατ' ἰδίαν ἵνα καί πεῖραν δαιμόνων λάβης». Οἰκήσας οὖν ἔτος ἕν ὁ Παῦλος χάριτος ἠξιώθη κατά δαιμόνων καί νοσημάτων. Ἐν οἷς ποτέ καθ' ὑπερβολήν δεινότατος ἤχθη τῷ Ἀντωνίῳ δαιμονιῶν ἀρχοντικόν ἔχων πνεῦμα, ὅς καί αὐτόν τόν οὐρανόν ἐδυσφήμει (= ὕβριζε). Προσχών οὖν ὁ Ἀντώνιος λέγει τοῖς ἀγαγοῦσιν· «Οὐκ ἔστιν ἐμόν τοῦτο τό ἔργον· κατά γάρ τούτου τοῦ τάγματος τοῦ ἀρχοντικοῦ οὔπω ἠξιώθην χαρίσματος, ἀλλά τοῦτο Παύλου ἐστίν». Ἀπελθών οὖν Ἀντώνιος πρός τόν Παῦλον ἀπάγει αὐτούς καί λέγει αὐτῷ· «Ἀββᾶ Παῦλε, ἔκβαλε τό δαιμόνιον τοῦτο ἀπό τοῦ ἀνθρώπου ἵνα ὑγιαίνων ἀπέλθῃ εἰς τά ἴδια». Λέγει αὐτῷ ὁ Παῦλος· «Σύ γάρ τί;» λέγει αὐτῷ ὁ Ἀντώνιος· «Οὐ σχολάζω ἐγώ, ἄλλο ἔχω ἔργον». Καί καταλείψας αὐτόν ὁ Ἀντώνιος πάλιν ἦλθεν εἰς τήν ἰδίαν κέλλαν. Ἀναστάς οὖν ὁ γέρων καί προσευξάμενος ἐνεργῇ προσευχήν προσλαλεῖ τῷ δαιμονιῶντι· «Εἴρηκεν ὁ ἀββᾶς Ἀντώνιος ὅτι Ἔξελθε ἀπό τοῦ ἀνθρώπου». Ὁ δέ δαίμων μετά δυσφημίας ἔκραξε λέγων· «Οὐκ ἐξέρχομαι, κακόγηρε». Λαβών οὖν τήν μηλωτήν αὐτοῦ κατά νώτου ἔτυπτεν αὐτόν λέγων· «Ἔξελθε εἴρηκεν ὁ ἀββᾶς Ἀντώνιος». Λοιδορεῖ (= κοροϊδεύει) καί τόν Ἀντώνιον καί αὐτόν πάλιν ὁ δαίμων σφοδρότερον. Τέλος λέγει αὐτῷ «Ἐκβαίνεις, ἤ ὑπάγω λέγω τῷ Χριστῷ. Μά τόν Ἰησοῦν, ἐάν οὐκ ἐκβαίνῃς ἤδη ἄρτι (= ἀμέσως) ὑπάγω λέγω τῷ Χριστῷ, καί οὐαί σοι ἔχει ποιῆσαι. Προσεδυσφήμει πάλιν ὁ δαίμων κράζων· «Οὐκ ἐξέρχομαι». Χολέσας οὖν ὁ Παῦλος κατά τοῦ δαίμονος ἐξῆλθεν ἔξω τῆς ξενίας (= τῆς κέλλης του) κατ' αὐτήν τήν σταθεράν μεσημβρίαν· τῶν δέ Αἰγυπτίων τό καῦμα συγγενές ἐστι τῆς καμίνου τῆς Βαβυλωνίας. Καί στάς κατά πέτρας ἐν τῷ ὄρει προσεύχεται καί λέγει οὕτως· «Σύ βλέπεις, Ἰησοῦ Χριστέ, ὁ σταυρωθείς ἐπί Ποντίου Πιλάτου, ὅτι οὐ μή κατέλθω ἀπό τῆς πέτρας, οὐ φάγω οὐ πίω ἕως οὗ ἀποθάνω, ἐάν μή ἐκβάλῃς τό πνεῦμα ἀπό τοῦ ἀνθρώπου καί ἐλευθερώσῃς τόν ἄνθρωπον». Πρό τοῦ δέ τελεσθῆναι τούς λόγους τοῦ στόματος αὐτοῦ ἀνέκραξεν ὁ δαίμων λέγων· «Ὢ βία, ἐλαύνομαι· ἡ ἁπλότης με τοῦ Παύλου ἐλαύνει, καί ποῦ ἀπέλθω;» καί παραχρῆμα ἐξῆλθε τό πνεῦμα καί εἰς δράκοντα μέγαν ἑβδομήκοντα πήχεων μετεβλήθη συρόμενος*

www.tezaurliturgic.ro



*ἐπί τήν θάλασσαν τήν ἐρυθράν, ἵνα πληρωθῇ τό ρηθέν· «Ἐπιδεικνυμένην πίστιν ἀπαγγελεῖ δίκαιος» (Παροιμ. ιβ', 17). Τοῦτο ἐστι τό θαῦμα Παύλου ὅς ἐπεκλήθη ἁπλοῦς παρά πάσης τῆς ἀδελφότητος».*

*Ἐκ τῆς Λαυσαϊκῆς Ἱστορίας, Παλλαδίου Ἑλενοπόλεως.*
*(Τό κείμενον ἐλήφθη ἀπό τήν κριτικήν ἔκδοσιν τοῦ Cuthbert Butler. The Lausiac History of Palladius, Cambridge, τόμ. Α' 1898, Β' 1904)*

*β'. Γεροντικόν, ἔκδοσις «Ἀστήρ» 1981³, σελ. 106-107.*

*γ'. Ἔτι ἰδέ καί εἰς τόν βίον τῆς Ἁγίας Ταϊσίας, τῆς πρότερον πόρνης, εἰς τόν ὁποῖον καταφαίνεται ἡ μεγάλη ἀρετή καί παρρησία πρός τόν Πανάγαθον Θεόν τοῦ Ὁσίου Παύλου. «Μέγας Συναξαριστής τῆς Ὀρθοδόξου Ἐκκλησίας», τόμ. Ι', μήν Ὀκτώβριος, Ἀθῆναι 1971³, σελ. 218-221.*




Καὶ σὰν εὕρῃ τὸ πρόβατο ποὺ εἶχε γιὰ χαμένο,
καμαρωτὸς στὸν ὦμο του τὸ φέρνει μέσ τὴ μάντρα:·

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους δ'. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**

*Ἦχος πλ. β'. Αἱ Ἀγγελικαί.*

**Βίον** ταπεινόν, ἐν τῷ κόσμῳ διανύων, ζῶν αὐτουργικῶς ἐν τῷ φόβῳ τοῦ Κυρίου, ἁπλότητος ταμεῖον καί πραότητος σκήνωμα, ἀληθῶς ἐδείχθης Πάτερ Παῦλε, καί ὥσπερ ἄγγελος βιώσας, ζωῆς κρείττονος, οἷα θεράπων τοῦ Θεοῦ, ἠξίωσαι Ὅσιε.

**Ἔδραμες** σπουδῇ, Ἀντωνίῳ τῷ μεγάλῳ, πάντα τά φθαρτά νουνεχῶς ἐγκαταλείψας, καί τούτῳ κοινωνήσας τῆς ζωῆς τούτου σύμψυχος, ὤφθης τῆς ἀσκήσεως τοῖς πόνοις, καί δοξασθείς παρά Κυρίου, θεοπρεπῶς Ὅσιε, Παῦλε δαιμόνων ἐλατήρ, ἐδείχθης ἐν Πνεύματι.

**Θείων** δωρεῶν, πανυπέρτιμον δοχεῖον, οἷά περ ἁπλοῦς, καί εὐθύς καί ταπεινόφρων, ἐγένου Πάτερ Παῦλε, ὡς Ἀγγέλων ἐφάμιλλος· ὅθεν τῇ πολλῇ σου ταπεινώσει, καί προσευχῶν σου τῇ δυνάμει, ὡς ἀληθῶς οἴχεται, φάλαγξ δαιμόνων πονηρά, εἰς δόξαν Θεοῦ ἡμῶν.

**Ἤνυσας** καλῶς, τῆς ἀσκήσεως τόν δρόμον, Παῦλε θαυμαστέ, ἐν ἁπλότητι καρδίας, καί πόνοις ἐναρέτοις, μεγαλύνας τόν Κύριον· ὅθεν συναυλίας τῶν Ἀγγέλων, ἐν οὐρανοῖς κατηξιώθης, μεθ' ὧν πρέσβευε, ὑπέρ ἡμῶν διά παντός, τῶν πόθῳ ὑμνούντων σε.

www.tezaurliturgic.ro



*Δόξα. Ἦχος δ'.*

**Τόν** τῆς ἀσκήσεως ὑπελθών ἀγῶνα, καί ἐν ταπεινώσει βαθείᾳ, τόν ἐν ὑψίστοις δοξάσας Κύριον, τῆς αἰωνίου δόξης κληρονόμος γέγονας, Παῦλε Πάτερ Ὅσιε· καί νῦν τοῦ ἀδύτου φωτός πληρούμενος, καί τά ὑπέρ λόγον θεώμενος, ἀδιαλείπτως πρέσβευε, διδόναι ἡμῖν τό θεῖον ἔλεος.

*Καί νῦν. Θεοτοκίον.*

**Ἐκ** παντοίων κινδύνων....

## ΑΠΟΣΤΙΧΑ

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

**Μόνος** ἐν Μαθηταῖς, ἁπλοῦς ἐκλήθης Παῦλε, ὡς ταπεινοφροσύνης, τύπος καί μυροθήκη, ἁπλότητος μυρίπνοος.

*Στίχ.: Τίμιος ἐναντίον Κυρίου....*

**Ἤνεγκας** καρτερῶς, ἀσκήσεως τούς πόνους, ἐν γήρατι θεόφρον, Παῦλε καί ἐπληρώθης, τῆς χάριτος τοῦ Πνεύματος.

*Στίχ.: Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον....*

**Μύστης** θεοειδής, τοῦ θείου Ἀντωνίου, καί μιμητής ἐδείχθης, ὦ Παῦλε θεοφόρε, καί ἀπαθείας ὄργανον.

*Δόξα. Τριαδικόν.*

**Αἴγλην** Τριαδικήν, πλουτήσας Πάτερ Παῦλε, τῇ καθαρᾷ ψυχῇ σου, τόν ζόφον τῶν δαιμόνων, ἐντεύξει σου ἐμείωσας.

*Καί νῦν. Θεοτοκίον.*

**Ἄχραντε** Μαριάμ, Παρθένε Θεοτόκε, τήν ταπεινήν ψυχήν μου, μανίας τοῦ δολίου, ἀπάλλαξον καί σῶσόν με.

*Νῦν ἀπολύεις, τό τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καί ἀπόλυσις.*

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ'. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**

*Ἦχος α'. Πανεύφημοι Μάρτυρες.*

**Ἁπλότητος** τρόποις σεαυτόν ὡραΐσας Ὅσιε, ἁπλοῦς καί πρᾶος καί μέτριος, Παῦλε μακάριε, ἀληθῶς ἐδείχθης, καί θεράπων γνήσιος, ἐγένου διά βίου λαμπρότητος, τοῦ Παντοκράτορος· ὅν ἱκέτευε δεόμεθα, ὑπέρ πάντων, τῶν ἀνευφημούντων σε.

**Ὑπῆλθες** εὐθύτητι ψυχῆς, καί στερρῷ φρονήματι, τά τῆς ἀσκήσεως σκάμματα, Παῦλε μακάριε, καί κατά δαιμόνων, ἐξουσίαν εἴληφας, τήν χάριν δεδεγμένος τοῦ Πνεύματος, τῇ πολιτείᾳ σου, καί τήν τούτων καταβέβληκας, δυναστείαν, συντόνοις δεήσεσι.

**Ψυχῆς** σου τόν πόθον τόν θερμόν, καί νοός τό ἄτρεπτον, καί τό ἀνένδοτον φρόνημα, ἐπί τά κρείττονα, ὁ μέγας ἠγάσθη, ἀληθῶς Ἀντώνιος· αὐτοῦ γάρ μιμητής καί ὁμότροπος, Παῦλε γενόμενος, τοῖς ἀγῶσι τῆς ἀσκήσεως, χαρισμάτων, πλουσίων ἠξίωσαι.

*Ἕτερα. Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.*

**Ὁ** τῷ μεγάλῳ φοιτήσας Ἀντωνίῳ, ὅτε ἐν ἁπλότητι καί προθυμίᾳ πολλῇ, πάντα τόν κόσμον κατέλιπες, καί ᾑρετίσω.

www.tezaurliturgic.ro



ἀκολουθῆσαι Χριστοῦ τοῖς ἴχνεσι, τότε τῆς ἀσκήσεως ρᾷον ὑπέφερες, ἅπαν ἐπίπονον Ὅσιε, ὅλῃ καρδίᾳ, ἐπεκτεινόμενος πρός τά ἔμπροσθεν· ὅθεν ἐπλήσθης θείας χάριτος, παμμακάριστε Παῦλε Πατήρ ἡμῶν, σεαυτόν ἐκκαθάρας, δι' ἀγώνων τῆς ἀσκήσεως.

**Ὁ** τῶν δαιμόνων τά τόξα καί τά βέλη, τῇ σῇ καθαρότητι, καί τῇ ἁπλότητι, τῆς εὐθυτάτης καρδίας σου, Παῦλε θεόφρον, καταπατήσας ροπῇ τῇ ἄνωθεν, τοῖς πᾶσιν ὑπέδειξας τήν οἰκειότητα, ἥνπερ ἐπλούτησας Ὅσιε πρός τόν Σωτῆρα, τόν ἐν ἀπλάστοις ψυχαῖς σκηνούμενον· ὅν ἐκδυσώπει θεῖον ἔλεος, καί πταισμάτων δωρήσασθαι ἄφεσιν, τοῖς γεραίρουσι πόθῳ, τήν σήν μνήμην τήν σεβάσμιον.

**Ὁ** ἐν Ὁσίοις ἁπλότητος τήν κλῆσιν, ὡς ὄντως ἁπλούστατος, λόγοις καί πράξεσι, καί πολιτείας λαμπρότητι, καταπλουτήσας τῆς πονηρίας καί ἐπιθέσεως, ἀπάλλαξον Ὅσιε ταῖς ἱκεσίαις σου, τοῦ πονηροῦ κοσμοκράτορος, καί ἰσχύν δίδου, καλῶς βαδίζειν ἡμᾶς δεόμεθα, τῶν ἐντολῶν τοῦ Παντοκράτορος, Πάτερ Παῦλε ὁδόν τήν σωτήριον, ἀσφαλῶς ὁδηγοῦσαν, πρός οὐράνια σκηνώματα.

*Δόξα. Ἦχος β'.*

**Τῆς** ἐγκρατείας τοῖς σκάμμασιν, ὑποτάξας τόν νοῦν, δεκτικόν δοχεῖον τοῦ Πνεύματος, σεαυτόν ἀπετέλεσας Ὅσιε· ταῖς χερσί γάρ Ἀντωνίου τοῦ πάνυ, καλῶς ἐκπαιδευθείς, νεάζον φρόνημα ἐν γήρατι, πρός τούς ἀγῶνας ἐπεδείξω· καί καθαρθείς τήν καρδίαν, πλουσίων ἀμοιβῶν ἠξιώθης, παρά τῆς ἀεννάου πηγῆς τοῦ Σωτῆρος ἡμῶν· ὅν ἱκέτευε Παῦλε μακάριε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Ὁ αὐτός.*

**Παρῆλθεν** ἡ σκιά τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γάρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες καί παρθένος ἔμεινας· ἀντί στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντί Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



*Εἴσοδος, Φῶς Ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*
(Κεφ. γ'. 1)

**Δικαίων** ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*
(Κεφ. ε'. 15, στ'. 1)

**Δίκαιοι** εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται· καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί

www.tezaurliturgic.ro



δέ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*

(Κεφ. δ΄. 7)

**Δίκαιος** ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις· καί ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ρεμβασμός ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί ἰδόντες, καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον, ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τήν Λιτήν Ἰδιόμελα*

*Ἦχος α΄.*

**Τῶν** ὑλικῶν τῆς σχέσεως, ἐμφρόνως μακρύνας, τῷ Χριστῷ ἀκολουθῆσαι διέγνως, Παῦλε μακάριε· καί τόν σταυρόν ἐπ᾽ ὤμων ἄρας, ἡλικίαν γήρως ὑπερεῖδες, καί ἐν καινότητι ζωῆς, κατά Παῦλον τόν θεῖον, τῷ Σωτῆρι ἐδούλευσας, ὡς δοῦλος αὐτοῦ γνήσιος· ὅθεν τῆς ἄνω βασιλείας, ἀπολαβών τό δηνάριον, ἀδιαλείπτως ἱκέτευε, ὑπέρ τῶν πίστει τελούντων, τήν ἁγίαν μνήμην σου.

www.tezaurliturgic.ro



*Ἦχος β'.*

**Ἀσκητικῆς** πολιτείας τούς πόνους, ὡς τρυφάς ἡγήσω, τῷ πυρί τῆς θείας ἀγάπης, πυρπολούμενος Ὅσιε· ὅθεν ἐν προσευχαῖς μετάρσιος, καί ἐν νηστείᾳ ἀκλινής, καί ἐν πάσῃ ἄλλῃ σκληραγωγίᾳ, ἀνένδοτος δειχθείς, τοῦ Παρακλήτου ἐνεδύσω τήν ἐνέργειαν, ὡς φωτός ἱμάτιον· ἐντεῦθεν τόν τοῦ σκότους ἄρχοντα, ἐκδειματώσας τῇ σῇ χάριτι, τῷ σῷ λόγῳ ἰάσω, τούς ὑπ' αὐτοῦ μαστιζομένους. Ἀλλ' ὦ Παῦλε παμμάκαρ, τῆς αὐτοῦ μανίας ῥῦσαι καί ἡμᾶς, ταῖς πρός Χριστόν πρεσβείαις σου.

*Ἦχος γ'.*

**Ἁπλουστάτοις** ἤθεσι, διαπρέπων Παῦλε Ὅσιε, ἀγγελικῆς πολιτείας τούς καρπούς ἐγεώργησας, τῇ συντονωτάτῃ ἀσκήσει σου· τοῦ θείου Ἀντωνίου γάρ ἐκμαγεῖον ὤφθης, τούς τρόπους αὐτοῦ μιμησάμενος, ὡς τῶν ἐφετῶν ποθήσας τό ἀκρότατον· καί τοῦ πόθου εὑρών τήν πλήρωσιν, σκεῦος ὤφθης τοῦ Πνεύματος, καί πονηρῶν πνευμάτων, διώκτης ἰσχυρότατος· ὧν τῆς λύμης ῥῦσαι, τούς τιμῶντάς σε δεόμεθα.

*Ἦχος δ'.*

**Τόν** παλαιόν ἀπεκδυσάμενος ἄνθρωπον, σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις, τήν εἰκόνα τοῦ ἐπουρανίου ἐνεδύσω, ἀσκητικοῖς παλαίσμασιν· ἀπάθειαν γάρ ἤνθησας, καί ἁπλότητος ὤφθης λειμών, Παῦλε Πάτερ Ὅσιε, πάντας παιδεύων τά ἄνω ποθεῖν καί ζητεῖν, ὡς Ἀγγέλων ἰσοστάσιος.

*Δόξα. Ὁ αὐτός.*

**Τῆς** ἰσαγγέλου ζωῆς ἐραστής γενόμενος, τῶν ἐν αὐτῇ ἀγαθῶν ἠξιώθης, ὡς θεράπων Χριστοῦ, Παῦλε πανaοίδιμε· τῷ γάρ σκεύει τῆς ἐκλογῆς συνωνυμήσας, θείων ἀναβάσεων ἐργάτης ὤφθης, ἀσκήσας ἐν σώματι, ὑπέρ ἄνθρωπον Ὅσιε· ὅθεν τῇ ἀπλάστῳ ζωῇ σου ἡμᾶς εὐφραίνεις, καί πρεσβεύεις ἀ-

www.tezaurliturgic.ro



παύστως ὑπέρ τῶν ψυχῶν ἡμῶν, ὡς ἔχων παρρησίαν πρός Κύριον.

*Καί νῦν. Θεοτόκίον.*

**Ἐκ** παντοίων κινδύνων....

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

**Ὅτε** τά προσήκοντα καλά, γνώμῃ θεολήπτῳ ἠρνήσω, Παῦλε μακάριε, τότε χαίρων ἔσπευσας, ἐν εὐθυτάτῃ ψυχῇ, Ἀντωνίῳ τῷ μάκαρι, καί τούτῳ οἰκεῖος, ὤφθης καί συνόμιλος, πόνοις ἀσκήσεως. Ὅθεν φωτισμοῦ οὐρανίου, ἡ καθαρωτάτη ψυχή σου, Πάτερ ἐπληρώθη θείῳ Πνεύματι.

*Στίχ.: Τίμιος ἐναντίον Κυρίου....*

**Βλέπων** τῆς ψυχῆς σου τήν πολλήν, θέρμην καί τόν ζῆλον τόν θεῖον, πρός τόν Σωτῆρα Χριστόν, ὁ μέγας Ἀντώνιος Παῦλε μακάριε, κοινωνόν σε ἀνέδειξε, τῶν θείων ἀγώνων, τήν σήν προσηκάμενος, θείαν ἁπλότητα. Ὅθεν τούς σεπτούς σου καμάτους, ὁ Χριστός δεξάμενος Πάτερ, θείων χαρισμάτων σε ἠξίωσε.

*Στίχ.: Μακάριος ἀνήρ....*

**Πρᾷος** καί ἁπλοῦς καί ταπεινός, Πάτερ ἀληθῶς ἀνεδείχθης, καί τῇ ἀσκήσει σου, τόν Χριστόν ἐδόξασας· ὅθεν ἀπείληφας, ἐξουσίαν καί δύναμιν, κατά τῶν δαιμόνων, καί πλείστους ἀπήλλαξας, τούτων τῆς μάστιγος· ὅθεν σύν Ἀγγέλοις χορεύων, Παῦλε ἐκτενῶς ἐκδυσώπει, ὑπέρ τῶν πιστῶς μακαριζόντων σε.

*Δόξα. Ἦχος πλ. δ'.*

**Τῷ** πυρί τῆς ἀσκήσεως, τό τῆς σαρκός ἀναλώσας φρόνημα, τήν ψυχήν ἐλάμπρυνας, ἀπαθείας ταῖς χάρισιν Ὅσιε· ἐν

www.tezaurliturgic.ro



ὁσιότητι γάρ καί ἀληθείᾳ, καί ἁπλότητι πολλῇ, Χριστῷ ἀκολουθήσας, πᾶσιν ἔδειξας τοῖς ἔργοις σου, τῆς θείας ἀγάπης τήν δύναμιν. Καί νῦν Παῦλε μακάριε, Ἀγγέλοις συνών, καί θέσει θεούμενος, πρέσβευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Καί νῦν. Θεοτοκίον.*

**Δέσποινα** πρόσδεξαι....

*Νῦν ἀπολύεις, τό τρισάγιον, καί τό Ἀπολυτίκιον.*
*Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.*

**Τῆς** ἁπλότητος ὤφθης ἄνθος μυρίπνοον, παμμακάριστε Παῦλε τῇ καθαρᾷ σου ψυχῇ, καί βιώσας ἐπί γῆς καθάπερ Ἄγγελος, κατά πνευμάτων πονηρῶν, ἐξουσίαν ἐκ Θεοῦ, δεξάμενος θεοφόρε, αὐτῶν τῆς λύμης λιταῖς σου, ἡμᾶς ἀτρώτους διαφύλαττε.

*Θεοτοκίον.*

**Χαῖρε** Πύλη Κυρίου ἡ ἀδιόδευτος....

*Ἀ π ό λ υ σ ι ς.*



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά τήν α'. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος α'. Τόν τάφον σου Σωτήρ.*

**Ἁπλότητος** φωτί, μυστικῶς διαλάμπων, θεόφρων ἀσκητής, καί Κυρίου θεράπων, ἐδείχθης Παῦλε Ὅσιε, βιοτεύσας ὡς Ἄγγελος· ὅθεν σήμερον, τήν σήν γεραίροντες μνήμην, δυσωποῦμέν σε, ὑπέρ ἡμῶν ἱκετεύειν, τόν μόνον Φιλάνθρωπον.

*Θεοτοκίον.*

**Τεκοῦσα** ἐν σαρκί, τόν ἀσώματον Λόγον, ἐρρύσω τῆς φθορᾶς, τῶν ἀνθρώπων τό γένος, Παρθένε Ἀειπάρθενε, τοῦ Θεοῦ Μήτηρ ἄφθορε. Ὅθεν ρῦσαί με, ἀκαθαρσίας ἁπάσης, καί καταύγασον, τήν σκοτισθεῖσαν ψυχήν μου, φωτί τῆς σῆς χάριτος.

*Μετά τήν β'. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος δ'. Ταχύ προκατάλαβε.*

**Σπουδῇ** προσεχώρησας, ἐν τῇ ἐρήμῳ σοφέ, καί χαίρων προσέδραμες, τῷ Ἀντωνίῳ πιστῶς, ἐν πάσῃ ἁπλότητι· εἴληφας τοῖς σοῖς πόνοις, τήν τοῦ Πνεύματος χάριν· ἤλασας τῶν δαιμόνων, πονηράς σατραπείας· Χριστός γάρ Πάτερ Παῦλε, λαμπρῶς σε ἐθαυμάστωσε.

*Θεοτοκίον.*

**Ἀπαύστως** ἱκέτευε, τόν προελθόντα ἐκ σοῦ, δι' ἄφατον ἔλεος, Παρθενομῆτορ Ἁγνή, Χριστόν τόν Θεόν ἡμῶν, ἄφεσιν

www.tezaurliturgic.ro



ἡμῖν δοῦναι, τῶν ἀμέτρων πταισμάτων, ἔλεος δέ καί χάριν, καί διόρθωσιν βίου, τοῖς πόθῳ μεγαλύνουσι, τήν δόξαν σου Ἄχραντε.

*Μετά τόν Πολυέλεον, Κάθισμα.*

*Ἦχος δ'. Ἐπεφάνης σήμερον.*

**Ἀντωνίου** Ὅσιε τοῦ θεοφόρου, μιμητής γενόμενος, τῇ σῇ ἁγίᾳ βιοτῇ, πολλῶν χαρίτων ἠξίωσαι, Παῦλε τρισμάκαρ, παρά τοῦ Παντάνακτος.

*Θεοτοκίον.*

**Τῆς** ζωῆς τόν αἴτιον, Κόρη τεκοῦσα, ζώωσόν με δέομαι, τόν νεκρωθέντα τῇ ψυχῇ, καί πρός γνησίαν μετάνοιαν, ὁδήγησόν με τῇ σῇ ἀγαθότητι.

*Τό α'. Ἀντίφωνον τοῦ δ'. ἤχου καί τό Προκείμενον.*
*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*
*Στίχ.: Μακάριος ἀνήρ....*
*Εὐαγγέλιον Ὁσιακόν.*
*Ὁ Ν'. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου....*
*Καί νῦν. Ταῖς τῆς Θεοτόκου....*
*Ἰδιόμελον. Ἦχος πλ. β'.*
Στίχ.: Ἐλέησόν με ὁ Θεός....

**Τῶν** ἀρετῶν διανύσας τήν τρίβον, καί τοῦ ἐχθροῦ συντρίψας τάς παγίδας, τό τῆς νίκης στέφος ἀνεδήσω, παρά Χριστοῦ τοῦ Θεοῦ, τόν ἀγῶνα τελέσας Ὅσιε Παῦλε· καί νῦν τά ὑπέρ λόγον θεώμενος, καί αἰωνίου χαρᾶς ἀξιούμενος, πάσης στενώσεως καί θλίψεως λύτρωσαι, τούς εὐλαβῶς σε μακαρίζοντας.

*Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός τόν λαόν σου...*
*Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, καί τοῦ Ὁσίου οὗ ἡ ἀκροστιχίς:*
*«Τήν σήν ἁπλότητα μέλπω Πάτερ. Γερασίμου».*
*Ὠδή α'. Ἦχος δ'. Θαλάσσης τό ἐρυθραῖον.*

www.tezaurliturgic.ro



**Τριάδος,** ταῖς ὑπέρ νοῦν λαμπρότησι, καταλαμπόμενος, τόν τῆς ψυχῆς μου λῦσον σκοτασμόν, τῷ φωτί τῆς πρεσβείας σου, Παῦλε Ἀγγέλων σύσκηνε, ὅπως ὑμνήσω τούς ἀγῶνάς σου.

**Ἠσχύνθη,** ὁ δυσμενής καί πέπτωκε, τῇ σῇ ἁπλότητι, καί τῇ στερρᾷ ἀσκήσει σου σοφέ· ὡς γάρ ἄσαρκος ἤνυσας, τῶν ἀρετῶν τό στάδιον, Παῦλε θεόθεν δυναμούμενος.

**Ναμάτων,** τῶν θεϊκῶν πληρούμενος, καθάρας Ὅσιε, τήν σήν καρδίαν πόνοις ἱεροῖς, τῶν δαιμόνων κατέκλυσας, πᾶσαν τήν θολερότητα, Παῦλε τοῖς ὄμβροις τῶν δακρύων σου.

*Θεοτοκίον.*

**Σαρκοῦται,** ἐκ τῶν ἁγνῶν αἱμάτων σου, ὁ Ὑπερούσιος, καί τήν κατάραν λύει τοῦ Ἀδάμ, ὁμιλήσας τοῖς πάθεσι, διά Σταυροῦ Πανάμωμε, καί πᾶσι βλύσας τήν ἀπάθειαν.

*Ὠδή γ'. Εὐφραίνεται ἐπί σοί.*

**Ἠρνήσω** γνώμῃ στερρᾷ, τῶν προσηκόντων τόν δεσμόν Ὅσιε, πόθῳ Χριστοῦ πυρούμενος, Παῦλε καί τήν ἔρημον ᾤκησας.

**Νοήσας** σου τῆς ψυχῆς, τό πρός ἀγῶνας καρτερόν Ὅσιε, Ἀντώνιος ὁ μέγιστος, μύστην σε οἰκεῖον ἀνέδειξε.

**Ἁπλότητι** ἀληθεῖ, κεκοσμημένος καί σεμνοῖς ἤθεσι, πίστει σαυτόν ὑπέταξας, Παῦλε Ἀντωνίῳ τῷ μάκαρι.

*Θεοτοκίον.*

**Παράδεισος** νοητός, ὡς ἀληθῶς ἡ σή γαστήρ πέφηνεν, ὑπερφυῶς βλαστήσασα, Κόρη τόν ζωήν πᾶσι βλύζοντα.

*Κάθισμα. Ἦχος γ'.* Τήν ὡραιότητα.

**Πόνοις** ἀσκήσεως, καθάρας Ὅσιε, τήν τῆς καρδίας σου, Παῦλε κατάστασιν, τῆς ἀπαθείας θησαυρός ἐδείχθης Πνεύματι θείῳ· ὅθεν τήν ἁπλότητα, καί τόν τρόπον τοῦ βίου σου, ἄ-

www.tezaurliturgic.ro



παντες ἠγάσθησαν, καί οἱ δαίμονες ἔφριξαν· ὡς ἄσαρκος γάρ ἔλαμψας Πάτερ, συντονωτάτοις παλαίσμασι.

*Θεοτοκίον.*

**Τόν** πάντων Κύριον, σάρκα γενόμενον, ἐκ τῶν αἱμάτων σου, ἀφράστως τέτοκας, καί μετά τόκον τόν φρικτόν, Παρθένος διετηρήθης· ὅθεν τήν καρδίαν μου, ρυπωθεῖσαν τοῖς πάθεσι, ρείθροις τοῦ ἐλέους σου, ἐναπόπλυνον Δέσποινα, καί δίδου μοι πταισμάτων τήν λύσιν, ταῖς μητρικαῖς σου παρακλήσεσι.

*Ὠδή δ'. Ἐπαρθέντα σε ἰδοῦσα.*

**Λαμπρυνόμενος** ἁπλότητι Πάτερ Παῦλε, ἐν ἀσκηταῖς διέλαμψας, ὥσπερ ἑωσφόρος, καί πάντα ἠμαύρωσας, δαιμόνων τά φάσματα, τῇ καθαρωτάτῃ ἀσκήσει σου.

**Ὁ λαμπόμενος** τῇ αἴγλῃ τοῦ Παρακλήτου, Ἀντώνιος ἐθαύμασε, τήν σήν καρτερίαν· τῷ τούτου πυλῶνι γάρ, ἀπόσιτος ἔμεινας, ἕως οὗ τοῦ πόθου τετύχηκας.

**Τῇ** συντόνῳ προσευχῇ σου πρός τόν Σωτῆρα, τό πονηρόν δαιμόνιον, τό ἐν τῷ ἀνθρώπῳ, ἀπήλασας Ὅσιε, καί πάντες ἐξέστησαν, Παῦλε τό σόν θαῦμα τό μέγιστον.

*Θεοτοκίον.*

**Ἡ** τεκοῦσα μετά σώματος ὑπέρ φύσιν, τόν πάντων βασιλεύοντα, Κεχαριτωμένη, βασιλείας μέτοχον, τῆς ἄνω με ποίησον, τόν πρός σέ ἐλπίζοντα Ἄχραντε.

*Ὠδή ε'. Σύ Κύριέ μου φῶς.*

**Τείνων** σου τῆς ψυχῆς, τάς δυνάμεις πρός Κύριον, χάριν ἐκεῖθεν ἐδέξω, καί δαιμόνων τά στίφη, Παῦλε κατετραυμάτισας.

**Ἄκακος** καί ἁπλοῦς, καί εὐθύς καί ἀκέραιος, Παῦλε θεόφρον ἐγένου, καί κατάλληλον κλῆσιν, κατεκληρώσω Ὅσιε.

www.tezaurliturgic.ro



**Μέγας** ἐν ἀσκηταῖς, ταπεινώσει κοσμούμενος, ὡς ἀληθῶς Παῦλε ὤφθης, καί μεγάλων χαρίτων, ἐδέξω τήν λαμπρότητα.

*Θεοτοκίον.*

**Ἔσχες** ἐν τῇ γαστρί, τόν συνέχοντα ἅπαντα, ἀνακαινίζοντα κόσμον, Θεοτόκε Παρθένε· διό σε μεγαλύνομεν.

*Ὠδή στ'. Θύσω σοι.*

**Λάμψεσι,** τῶν σῶν ἀγώνων Παῦλε διέλυσας, τῶν ἀκαθάρτων πνευμάτων, τά ζοφώδη στίφη δυνάμει θείᾳ, καί τῆς τούτων, ἐπηρείας πλείστους διέσωσας.

**Πάσας** σου, τάς αἰσθήσεις τῷ νόμῳ τοῦ Πνεύματος, θεοπρεπῶς κυβερνήσας, τήν ψυχήν δοχεῖον τοῦ Παρακλήτου, Πάτερ Παῦλε, ἀπειργάσω βιώσας ὡς ἄγγελος.

**Ὡς** πρᾷος, ταπεινός καί πλήρης ἁπλότητος, φωτός ἐπλήσθης ἀΰλου, καί σαρκός ἐνέκρωσας τάς ὀρέξεις, Πάτερ Παῦλε, καί ζωῆς ἠξιώθης τῇ κρείττονος.

*Θεοτοκίον.*

**Πάθεσι,** δουλωθείς τῆς σαρκός νοΐ ἄφρονι, ἀπεμακρύνθην Κυρίου, ἀλλά σύ Παρθένε Θεοκυῆτορ, οἴκτειρόν με, καί φωτί μετανοίας με λάμπρυνον.

*Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

**Τοῖς** ἁπλουστάτοις σου τρόποις κοσμούμενος, τοῦ Ἀντωνίου συνόμιλος γέγονας, καί τούτου τόν βίον μιμούμενος, Παῦλε φωτός θείου ἔμπλεως γέγονας, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

*Ὁ Οἶκος.*

**Ὁλοτρόπῳ** σπουδῇ κόσμον ἔλιπες, ἀνατεθείς τῷ Χριστῷ μετά πίστεως· καί Ἀντωνίου χερσί τοῦ παμμάκαρος, ὁδηγηθείς ἐμμελῶς πρός τά κρείττονα, πρός ἀρετῶν περιωπήν, ἐν

www.tezaurliturgic.ro



ταπεινώσει ἀληθεῖ, καί ἁπλουστάτῃ καί ἀπλάστῳ ψυχῇ, ἀνέδραμες θεόφρον· ἀσκητικοῖς γάρ ἱδρῶσι καθάρας τόν νοῦν, ναόν ἡτοίμασας σαυτόν, τῆς θείας ἐνεργείας· ἐν σοί γάρ κατῴκησεν ἡ Ἁγία Τριάς, οἷα καθαρωτάτῳ καί εὐθεῖ, ὡς ἡ ἐπαγγελία· ἔνθεν κατά πνευμάτων ἀκαθάρτων τήν ἐξουσίαν εἴληφας, καί μοναστῶν ὑπόδειγμα πέφηνας, Παῦλε παμμακάριστε, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

*Συναξάριον.*

**Τῇ** ζ'. τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν Παύλου τοῦ Ἁπλοῦ.

*Στίχοι: Γῆθεν μεταστάς πρός Θεόν Παῦλος Λόγον*
*Τῆς ἁπλότητος πολλαπλᾶ στέφη λάβῃ.*
*Ἑβδομάτῃ Παύλοιο ῥέθος τάφῳ κτερέϊξαν λυγρῷ.*
*Ταῖς αὐτοῦ πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον ἡμᾶς. Ἀμήν.*

*Ὠδή ζ'.* Ἐν τῇ καμίνῳ.

**Ἁπλοῦς** καί πρᾶος, Πάτερ δεικνύμενος τοῖς τρόποις σου, ἔνδον ἐν καρδίᾳ ἔσχηκας ἀληθῶς, τήν σοφίαν τήν τοῦ Πνεύματος, Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καί Κύριος.

**Τῇ** σῇ ἐντεύξει, τῇ θερμοτάτῃ πρός Κύριον, ἥλλαται ὁ δαίμων Πάτερ ὁ φοβερός, ὁ ρυσθείς δέ πίστει ἔψαλλεν· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

**Ἐν** τῇ ἐρήμῳ, Παῦλε στερρῶς ἀγωνιζόμενος, ἔφερες ἡλίου τήν καῦσιν ἀκλινῶς, θείαν δρόσον εἰσδεχόμενος, καί εὐλογῶν Χριστόν, τόν ἐνισχύοντά σε Ὅσιε.

*Θεοτοκίον.*

**Ῥείθροις** ἀΰλοις, τῆς σῆς χρηστότητος Πανάχραντε, σβέσον τῶν παθῶν μου τήν φλόγα δυσωπῶ, καί τόν νοῦν μου φωταγώγησον, ὡς τό ἀπρόσιτον, τετοκυῖα φῶς μετά σώματος.

www.tezaurliturgic.ro



*Ὠδή η'. Χεῖρας ἐκπετάσας.*

**Γνώμῃ** εὐθυτάτῃ τῷ Χριστῷ, δουλεύειν Ὅσιε, πόνοις ἀσκήσεως, ἁπλοῦς καί πρᾷος καί μέτριος, παρά πάντας ἐχρημάτισας, κλῆσιν κατάλληλον εὑρών, καί ψάλλων ἔλεγες· Εὐλογεῖτε, πάντα τά ἔργα Κυρίου τόν Κύριον.

**Ἔχων** ἐν καρδίᾳ τόν Χριστόν, Παῦλε μακάριε, ὡς καθαρώτατος, τοῖς ἀκαθάρτοις μέν πνεύμασι, φοβερός ὤφθης καί ἅπασι, τοῖς μονασταῖς πρός ἀρετήν, κανών κραυγάζουσιν· Εὐλογεῖτε, πάντα τά ἔργα Κυρίου τόν Κύριον.

**Ῥώμην** ἐνδυσάμενος σοφέ, τήν ἀπροσμάχητον, τοῦ θείου Πνεύματος, σαρκός ἀσθένειαν Ὅσιε, ὑπερεῖδες καί ὡς ἄσαρκος, πρός ἀοράτους συμπλοκάς, χωρῶν ἐκραύγαζες· Εὐλογεῖτε, πάντα τά ἔργα Κυρίου τόν Κύριον.

*Θεοτοκίον.*

**Ἄγγελοι** καί ἄνθρωποι τήν σήν, μεγαλοπρέπειαν, τήν ἀκατάληπτον, θεοχαρίτωτε Δέσποινα, προσκυνοῦσι καί δοξάζουσι· σύ γάρ ἐκύησας Χριστόν, σώζοντα ἅπαντας, τούς τόν ἄφραστον, ἀνυμνοῦντάς σου τόκον καί ἄρρητον.

*Ὠδή θ'. Λίθος ἀχειρότμητος.*

**Στέφος** ἀφθαρσίας ἐδέξω, καλῶς τελέσας τόν ἀγῶνα, παρά τοῦ τῶν ὅλων Δεσπότου, ἀξιοθαύμαστε Παῦλε Ὅσιε, καί δήμοις συνηρίθμησαι, πάντων Ἁγίων ἀγαλλόμενος.

**Ἴσχυσας** ἐχθροῦ καταλῦσαι, τάς μεθοδείας Πάτερ Παῦλε, ἔχων συνεργόν ἐν ἀγῶσι, τοῦ σοῦ Δεσπότου τήν θείαν δύναμιν· διό τῆς ὑπέρ ἔννοιαν, κατηξιώθης ὡραιότητος.

**Μέτριον** τό φρόνημα ἔχων, ἁπλοῦν τόν τρόπον καί τόν λόγον, μέγας ἐν ἀσκήσει ὠράθης, καί τῆς ἁπλότητος λύχνος πάμφωτος, πυρσεύων Παῦλε Ὅσιε, τάς διανοίας τῶν τιμώντων σε.

**Οἱ** τήν σήν γεραίροντες μνήμην, Παῦλε ἁπλότητος ταμεῖον, τήν σήν ἀρωγήν ἐξαιτοῦνται, ἥν δίδου πᾶσι ὡς συμπα-

www.tezaurliturgic.ro



θέστατος, καί δέχου ὡς θυμίαμα, κἀμοῦ τόν ὕμνον ἱκετεύω σε.

*Θεοτοκίον.*

**Ὕψωσον** τόν νοῦν μου Παρθένε, ἐκ λογισμῶν τῶν χαμαιζήλων, καί τήν γεωθεῖσαν ψυχήν μου, φορᾷ τοῦ χείρονος ἀποκάθαρον, καί σῶσόν με Πανάμωμε, τῆς τυραννίδος τοῦ ἀλάστορος.

*Ἐξαποστειλάριον.*
*Γυναῖκες ἀκουτίσθητε.*

**Ἐν** ἁπλουστάτοις ἤθεσι, καί λόγοις τε καί πράξεσιν, ἀσκητικῆς πολιτείας, τήν σήν ζωήν διανύσας, τῆς τῶν Ἀγγέλων στάσεως, ἐν οὐρανοῖς ἠξίωσαι, μεθ' ὧν ἀεί ἱκέτευε, ὑπέρ ἡμῶν Πάτερ Παῦλε, τῶν σέ τιμώντων ἐκ πόθου.

*Θεοτοκίον.*

**Ἐν** δύο Κόρη φύσεσιν, ἀφράστως ἀπεκύησας, τόν Ὑπερούσιον Λόγον, ἐν ἑαυτῷ τήν οὐσίαν, ἀνθρώπων ὑποστήσαντα, ἀναλλοιώτως Πάναγνε· ὅν αἴτησαι δεόμεθα, δοῦναι πταισμάτων τήν λύσιν, τοῖς σέ ὑμνοῦσιν ἐν πίστει.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ'. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*

*Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.*

**Τῆς** ἁπλότητος σκήνωμα, διά βίου γενόμενος, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν ἠκολούθησας, ἀσκητικοῖς ἀγωνίσμασι, σαὐτόν καθηράμενος, τῆς ἰλύος τῶν φθαρτῶν, καί φωτός θείου ἔμπλεως, Παῦλε Ὅσιε, ἐπιπνοίᾳ τοῦ Πνεύματος ἐδείχθης, καί παρέχεις τοῖς αἰτοῦσι, χάριν θεόθεν καί ἔλεος.

**Ὡς** προσέδραμες Ὅσιε, Ἀντωνίῳ τῷ μάκαρι, τά ἐν κόσμῳ ἅπαντα βδελυξάμενος, τούτου τῇ θείᾳ λαμπρότητι, τόν νοῦν κατηγλάϊσαι, καί συνόμιλος αὐτοῦ, τῶν ἀγώνων γενόμε-

www.tezaurliturgic.ro



νος, θείας χάριτος, ἀνεδείχθης λαμπρόν δοχεῖον Παῦλε, καί δαιμόνων τῆς μανίας, περιεγένου ἐν Πνεύματι.

**Καθαρθείς** δι' ἀσκήσεως, τήν ψυχήν καί τό σῶμά σου, τοῦ Ἁγίου Πνεύματος οἶκος γέγονας, βίου ἐμπρέπων ἁπλότητι, καί τρόπων χρηστότητι, ὡς θεράπων τοῦ Χριστοῦ, Παῦλε Πάτερ μακάριε, οὗ τῇ χάριτι, ἀκαθάρτων πνευμάτων ἀπελαύνεις, θερμοτάτῃ προσευχῇ σου, τά πονηρά σμήνη Ὅσιε.

**Τῇ** τοῦ βίου εὐθύτητι, καί πολλῇ σου ἁπλότητι, ἐν Ὁσίοις μόνος ἁπλοῦς σύ κέκλησαι, Παῦλε Ὁσίων ἀγλάϊσμα, καί σκεῦος πολύτιμον, οὐρανίων ἀρετῶν· διό πᾶσαν ἀπέλασον, σκολιότητα, ἐξ ἡμῶν τῇ θερμῇ σου προστασίᾳ καί πταισμάτων αἴτει λύσιν, ἡμῖν τοῖς πόθῳ τιμῶσί σε.

*Δόξα. Ἦχος πλ. δ'.*

**Ἀσκητικῶς** ἀγωνισάμενος, ἐν ἀσθενείᾳ φύσεως, τῶν ἀντικειμένων τήν δύναμιν, καθεῖλες Ὅσιε· πρός Χριστόν γάρ ἀφορῶν, ἐν πᾶσι κατίσχυσας, καί τήν στενήν καί τεθλιμμένην ὁδόν, ἐν πλατυσμῷ θείας ἀγάπης, ἀκλινῶς ἐβάδισας. Καί νῦν ἐν τῷ φωτί τῆς ἄνω δόξης χορεύων, καί ἐν μετοχῇ θεούμενος, Παῦλε παμμάκαρ, ἀδιαλείπτως ἱκέτευε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Θεοτοκίον.*

**Τά** οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μῆτερ Ἀνύμφευτε, καί ἡμεῖς δοξολογοῦμεν τήν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τάς ψυχάς ἡμῶν.

Δοξολογία μεγάλη καί Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τά συνήθη. Ἀπόστολον καί Εὐαγγέλιον τοῦ Ἁγίου Σάββα, ε'.* Δεκεμβρίου.
Κοινωνικόν: Εἰς μνημόσυνον....

www.tezaurliturgic.ro

# Κανών παρακλητικός εἰς τόν Ὅσιον καί Θεοφόρον Πατέρα ἡμῶν Παῦλον τόν Ἁπλοῦν.

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.**

*Εὐλογήσαντος τοῦ Ἱερέως, τό Κύριε εἰσάκουσον, μεθ' ὅ τό Θεός Κύριος ὡς συνήθως, καί τά ἑξῆς:*
*Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.*

**Ὡς** τῆς ἁπλότητος ὑπέρτιμον σκεῦος, καί τοῦ Σωτῆρος θεοφόρος θεράπων, ὑπέρ ἡμῶν ἀπαύστως καθικέτευε, Παῦλε παμμακάριστε, ὅπως πάσης ἀνάγκης, καί παντοίων θλίψεων, καί κινδύνων ρυσθῶμεν, οἱ σέ τιμῶντες Πάτερ εὐλαβῶς, καί τήν θερμήν σου, αἰτοῦντες ἀντίληψιν.

Θεοτοκίον.

**Οὐ** σιωπήσομέν ποτε Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ὁ Ν'. καί ὁ κανών οὗ ἡ ἀκροστιχίς:*
*«Αἴτει μοι λύσιν παθῶν ὦ Παῦλε. Γερασίμου».*
*Ὠδή α'. Ἦχος πλ. δ'. Ὑγράν διοδεύσας.*

**Ἀγγέλων** χορείαις ἐν οὐρανοῖς, Παῦλε συγχορεύων, κα-

www.tezaurliturgic.ro



θικέτευε ἐκτενῶς, πταισμάτων διδόναι ἡμῖν λύσιν, καί πειρασμῶν πολυτρόπων συγχώρησιν.

**Ἰλύος** με κάθαρον τῶν παθῶν, Παῦλε θεοφόρε, ἱκεσίαις σου πρός Χριστόν, καί πάσης μανίας τοῦ Βελίαρ, ρῦσαί με Πάτερ θερμῇ προστασίᾳ σου.

**Τόν** πάντων Δεσπότην καί Ποιητήν, δυσώπει λυτροῦσθαι, πονηρίας με χαλεπῆς, ὦ Παῦλε ἁπλότητος ἡ στήλη, καί φωτισθῆναι φωτί μετανοίας με.

*Θεοτοκίον.*

**Ἐκ** σοῦ ἀνατέταλκεν ἐν σαρκί, ὁ πάντων Δεσπότης, ὥσπερ Ἥλιος τῆς ζωῆς, οὗ λάμπρυνον Κόρη ταῖς ἀκτῖσι, τήν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσι.

*Ὠδή γ'. Οὐρανίας ἁψῖδος.*

**Ἱλασμόν** καί εἰρήνην, καί φωτισμόν αἴτησαι, παρά τοῦ Σωτῆρος τῶν ὅλων, Παῦλε μακάριε, καί παθῶν λύτρωσιν, τοῖς προσιοῦσιν ἐν πίστει, τῇ θερμῇ πρεσβείᾳ σου, καί σέ γεραίρουσι.

**Μοναστής** θεοφόρος, καί ἀσκητής ὅσιος, Παῦλε θεοφόρε ἐδείχθης, τῇ συντονίᾳ σου· ὅθεν ἀνάδειξον, κἀμέ θερμόν κατά πάντα, εἰς ὅ σχῆμα ἔλαβον βίου λαμπρότητι.

**Ὁλικῶς** καθυπείκων, τοῖς ἱεροῖς ρήμασι, Παῦλε Ἀντωνίου τοῦ πάνυ, ἐπλήσθης χάριτος· ὅθεν ὑπήκοον, κἀμέ ἀπέργασαι Πάτερ, ἐν τοῖς δικαιώμασι τοῦ Παντοκράτορος.

*Θεοτοκίον.*

**Ἰησοῦν** τόν Σωτῆρα, καί τοῦ παντός Κύριον, τέτοκας ἐν ὕλῃ βροτείᾳ, ἄνευ συγχύσεως, Κόρη ᾧ πρέσβευε, ἁμαρτιῶν καί κινδύνων, ρύεσθαι τούς μέλποντας τά μεγαλεῖά σου.

**Διάσωσον** ταῖς σαῖς πρεσβείαις ἐκ πάσης ἡμᾶς ἀνάγκης, Πάτερ Παῦλε τό τῆς ἁπλότητος σκήνωμα, τούς προσιόντας τῇ θείᾳ σου προστασίᾳ.

www.tezaurliturgic.ro



**Ἐπίβλεψον ἐν εὐμενείᾳ....**

*Αἴτησις καί τό Κάθισμα.*
*Ἦχος β'. Πρεσβεία θερμή.*

**Χριστόν** τόν Θεόν, ἱκέτευε δεόμεθα, ἐκ πάσης ἡμᾶς, στενώσεως καί θλίψεως, λυτροῦσθαι Παῦλε Ὅσιε, καί ἐν φόβῳ τῷ θείῳ πορεύεσθαι, ἐν ταῖς τρίβοις τῶν θείων ἐντολῶν, ὡς ἄν τῆς ἀλήκτου ζωῆς τύχωμεν.

*Ὠδή δ'. Εἰσακήκοα Κύριε.*

**Λυμεῶνα** τόν κάκιστον, τόν τήν ἁμαρτίαν κόσμῳ εἰσάξαντα, καθ' ἡμῶν ἐπιτιθέμενον, Πάτερ Παῦλε σύντριψον πρεσβείαις σου.

**Ὕδωρ** βλῦσόν μοι ἄνωθεν, Παῦλε θεοφόρε θείας χρηστότητος, ταῖς πρός Κύριον πρεσβείαις σου, τῶν παθῶν σβεννῦόν μου τούς ἄνθρακας.

**Συμπαθῶς** ἐπικλώμενος, ταῖς φωναῖς τῶν πίστει παρακαλούντων σε, Πάτερ Παῦλε δίδου ἅπασι, τήν χαράν τήν θείαν καί οὐράνιον.

*Θεοτοκίον.*

**Ἴασαί** μου τούς μώλωπας, τῆς ψυχῆς Παρθένε καί τούς τοῦ σώματος, ἡ τεκοῦσα τόν ρυσάμενον, τόν Ἀδάμ τῆς πάλαι κατακρίσεως.

*Ὠδή ε'. Φώτισον ἡμᾶς.*

**Νόμῳ** τοῦ Θεοῦ, πολιτεύεσθαι ἐνίσχυσον, ἐν ἁπλότητι καί βίῳ καθαρῷ, θεοφόρε Πάτερ Παῦλε τούς ὑμνοῦντάς σε.

**Πάθη** τά δεινά, τά ὁσῶραι τυραννοῦντά με, ἀπομάρανον καί νέκρωσον σοφέ, τῇ θερμῇ σου ἱκεσίᾳ πρός τόν Κύριον.

**Ἄμεμπτον** ζωήν, διανύσας Παῦλε Ὅσιε, ἐν ἀμέμπτῳ πολιτείᾳ καί σεμνῇ, βιοτεύειν με ἐνίσχυσον μακάριε.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

**Θρόνος** τοῦ Θεοῦ, καθωράθης ὑψηλότατος, ἐν ἀγκάλαις σου βαστάζουσα Ἁγνή, τόν τά σύμπαντα κρατοῦντα καί βαστάζοντα.

*Ὠδή στ'. Τήν δέησιν.*

**Ὡς** πλήρης, θείας ἁπλότητος Παῦλε, ἐπληρώθης θεϊκῶν χαρισμάτων, καί τῇ ἐντεύξει τῇ σῇ τάς δυνάμεις, τοῦ πονηροῦ κοσμοκράτορος ἤλασας, οὗ τῆς κακίας καί ἡμᾶς, ἀσινεῖς διαφύλαττε Ἅγιε.

**Νεκρώσας,** τόν πολυμήχανον ὄφιν, τῇ ἁπλότητι τῇ σῇ θεοφόρε, τήν καθ' ἡμῶν τούτου νέκρωσον ρύμην, καί ἀσφαλῶς τήν ζωήν ἡμῶν ἴθυνον, ἐπί λιμένα τῶν σεπτῶν, τοῦ Θεοῦ προσταγμάτων δεόμεθα.

**Ὡράθης,** πλήρης δυνάμεως θείας, ἰσαγγέλῳ πολιτείᾳ σου Πάτερ· ὅθεν ἐχθροῦ τάς δυνάμεις καθεῖλες, καί ἀσθενοῦντας ἰάσω ἐντεύξει σου· ὅθεν θεράπευσον κἀμέ, ἀσθενοῦντα ψυχῇ τε καί σώματι.

*Θεοτοκίον.*

**Ποικίλαις,** περιπεσών ἁμαρτίαις, ἐμακρύνθην τοῦ Θεοῦ Θεοτόκε· ἀλλά τῇ σῇ προστασίᾳ προστρέχω, καί ἐκβοῶ ἐκ μυχίων καρδίας μου· ἀπάλλαξόν με τοῦ ἐχθροῦ, τῆς πικρᾶς δυναστείας καί σῶσόν με.

**Διάσωσον** ταῖς σαῖς πρεσβείαις ἐκ πάσης ἡμᾶς ἀνάγκης, Πάτερ Παῦλε τό τῆς ἁπλότητος σκήνωμα, τούς προσιόντας τῇ θείᾳ σου προστασίᾳ.

**Ἄχραντε,** ἡ διά λόγου....

*Αἴτησις καί τό Κοντάκιον.*
*Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

**Τῇ** θερμοτάτῃ πρεσβείᾳ σου Ὅσιε, τῆς τοῦ ἐχθροῦ πονη-

www.tezaurliturgic.ro



ρίας με λύτρωσαι, καί δίδου μοι δύναμιν δέομαι, ὡς ἄν ἐν φόβῳ Θεοῦ καί ἁπλότητι, διέλθω ζωήν τήν ἐπίγειον.

Προκείμενον.

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*
*Στίχ.: Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον....*

*Εὐαγγέλιον κατά Ματθαῖον.*

**Εἶπεν** ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου· καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν, εἰμή ὁ Πατήρ· οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει, εἰμή ὁ Υἱός, καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ' ὑμᾶς, καί μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷος εἰμι, καί ταπεινός τῇ καρδίᾳ· καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός, καί τό φορτίον μου ἐλαφρόν ἐστι.

*Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...*
*Καί νῦν. Ταῖς τῆς Θεοτόκου...*
*Προσόμοιον.*
*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*
*Στίχ.: Ἐλέησόν με ὁ Θεός....*

**Βίου** καθαρότητι, καί ἐν ἁπλότητι πάσῃ, Θεῷ εὐηρέστησας, Παῦλε παμμακάριστε δι' ἀσκήσεως, καί πολλῆς μέτοχος, χάριτος ἐγένου· διά τοῦτό σου δεόμεθα· Ἡμᾶς ἀπάλλαξον, πάσης τοῦ ἐχθροῦ ἐπιθέσεως, καί πειρασμῶν καί θλίψεων, καί πολυειδῶν περιστάσεων, καί πταισμάτων αἴτει, συγχώρησιν ἡμῖν παρά Χριστοῦ, ὡς ἄν ἀμέμπτως βιώσαντες, δόξης θείας τύχωμεν.

**Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός τόν λαόν σου...**

*Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

**Ἀκαθάρτων** πνευμάτων, ὡς καθεῖλες τήν ρύμην Παῦλε μακάριε, οὕτω παθῶν τῆς λύμης, ἐκκάθαρον λιταῖς σου, τούς

www.tezaurliturgic.ro



βοῶντας ἑκάστοτε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

**Ὑπέρ** πάντων δυσώπει, τόν Σωτῆρα τῶν ὅλων Παῦλε μακάριε, ρυσθῆναι πάσης βλάβης, καί πάσης δυσχερείας, τούς πιστῶς ἀνακράζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

**Λαμπρυνόμενος** φέγγει, τῆς ἁπλότητος Πάτερ καί τῆς ἀσκήσεως, λαμπρύνεις τάς καρδίας, τῶν ἀρετῶν ἀκτῖσι, τῶν βοώντων ἑκάστοτε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

*Θεοτοκίον.*

**Ἐξ** ἁγνῶν σου αἱμάτων, ἐσαρκώθη ὁ Λόγος ὁ Ὑπερούσιος, καί πάσης ἀλογίας, ἐρρύσατο Παρθένε, τούς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

*ᾨδή η΄. Τόν Βασιλέα.*

**Γνώμῃ** εὐθείᾳ, εὐαρεστήσας Κυρίῳ, Παῦλε Ὅσιε αὐτῷ εὐαρεστεῖν με, δύναμιν παράσχου, ἵνα σε μακαρίζω.

**Ἐκ** πολυπλόκων, ἐπηρειῶν τοῦ Βελίαρ, Παῦλε Ὅσιε ἀτρώτους διατήρει, τούς ὑπερυψοῦντας, Χριστόν εἰς τούς αἰῶνας.

**Ρῦσαί** με Πάτερ, ἐκ λογισμῶν ἀκαθάρτων, καί παράσχου μοι μετάνοιαν γνησίαν, ταῖς πρός τόν Δεσπότην, θερμαῖς σου ἱκεσίαις.

*Θεοτοκίον.*

**Ἀδιαφθόρως,** φθορᾶς τόν λύτην τεκοῦσα, Ἀειπάρθενε Χριστόν τόν Ζωοδότην, ἐκ φθοροποιῶν με, λύτρωσαι νοημάτων.

*ᾨδή θ΄. Κυρίως Θεοτόκον.*

**Συνών** Ἀγγέλων δήμοις, Παῦλε θεοφόρε, μή διαλίπῃς

www.tezaurliturgic.ro



πρεσβεύων δεόμεθα, ὑπέρ ἡμῶν τῶν ἐν πίστει μακαριζόντων σε.

**Ἰσχύν** ἡμῖν ἐξαίτει, κατά πάσης βλάβης, τοῦ βροτοκτόνου ἐχθροῦ Παῦλε Ὅσιε, παρά Χριστοῦ τοῦ ἀξίως σε θαυμαστώσαντος.

**Μεγίστης** εὐκληρίας, κατηξιωμένος, μεγάλων πόνων καί θλίψεων λύτρωσαι, τούς σέ γεραίροντας Παῦλε ἀξιοθαύμαστε.

**Ὁδόν** ἡμᾶς βαδίζειν, τήν πρός σωτηρίαν, δίδου ἰσχύν ταῖς πρεσβείαις σου Ἅγιε, οἷα μεσίτης καί πρέσβυς ἡμῶν πρός Κύριον.

*Θεοτοκίον.*

**Ὑψίστου** ὤφθης Μήτηρ, τοῦτον ἐκ γαστρός σου, ἀπειρογάμως κυήσασα Πάναγνε· διό ἁγνείας ἀκτῖσι τόν νοῦν μου λάμπρυνον.

*Τό Ἄξιόν ἐστι καί τά μεγαλυνάρια.*

**Βίον** διανύσας ἀγγελικόν, ἐν ἐρήμῳ Πάτερ, ἐπληρώθης θείου φωτός, καί τήν τῶν δαιμόνων, ἐπάτησας μανίαν, οἷα Χριστοῦ θεράπων, Παῦλε μακάριε.

**Πίστει** Ἀντωνίῳ τῷ θαυμαστῷ, προσελθών ἐδείχθης, ἐκμαγεῖον τῶν ἀρετῶν, αὐτοῦ Πάτερ Παῦλε, ἁπλότητι ἐμπρέπων, καί ταπεινοφροσύνῃ τε καί πραότητι.

**Σκεῦος** ἀνεδείχθης τῶν ἀρετῶν, Παῦλε θεοφόρε, διά βίου ἀσκητικοῦ, ὡς συνωνυμήσας, τῆς ἐκλογῆς τῷ σκεύει, καί ἐναρέτου βίου, θεῖον ὑπόδειγμα.

**Φρίττει** τῶν δαιμόνων ἡ πονηρά, φάλαγξ θεοφόρε, ἥν σοι δέδωκεν ὁ Σωτήρ θείαν ἐξουσίαν, ἀμέμπτῳ πολιτείᾳ· διό ἡμᾶς τῆς τούτων, βλάβης ἀπάλλατε.

**Χαίροις** Ἀντωνίου ὁ φοιτητής, Παῦλε θεοφόρε, καί ὁμόζηλος ἐν παντί· χαίροις μυροθήκη, ἁπλότητος ἁγίας, καί ἰσαγγέλου βίου, λύχνος πολύφωτος.

www.tezaurliturgic.ro



**Δήμοις** τῶν Ἁγίων ἐν οὐρανοῖς, καί χοροῖς Ἀγγέλων, συγχορεύων Παῦλε σοφέ, πρέσβευε ἀπαύστως, ἡμῖν πταισμάτων λύσιν, διδόναι τοῖς ἐν πίστει, σέ μακαρίζουσι.

**Πᾶσαι** τῶν Ἀγγέλων....

*Τό τρισάγιον, τά συνήθη τροπάρια, ἐκτενής καί ἀπόλυσις, μεθ' ἥν τό ἑξῆς:*
*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

**Παῦλε** τῆς ἁπλότητος εἰκών, ταπεινοφροσύνης δοχεῖον, ἀξιοθαύμαστον, πάσης ἡμᾶς λύτρωσαι, φθορᾶς καί θλίψεως, τῇ θερμῇ προστασίᾳ σου, καί τῆς πονηρίας, καί τῆς δολιότητος, τοῦ παλαμναίου ἐχθροῦ, ἔχων πρός Χριστόν παρρησίαν, ὅν ἀεί δυσώπει διδόναι, θεῖον φωτισμόν ἡμῖν καί ἔλεος.

*Δέσποινα πρόσδεξαι.*

**Τήν** πᾶσαν ἐλπίδα μου.

Καί ἀπόλυσις.

Δίστιχον.

*Παῦλε ἐν ἁπλότητι τήρει τόν νοῦν μου*
*Γερασίμου μέλποντος τούς σούς καμάτους.*

ΔΟΞΑ ΤΩ ΘΕΩ